7/-

# GAISFORD PRIZE—GREEK PROSE.

## ΑΝΑΞΙΜΑΝΔΡΟΣ,

ἢ περὶ ζῴων γενέσεως.

## A PLATONIC DIALOGUE,

BY

PHILIP EDWIN RAYNOR,
SCHOLAR OF NEW COLLEGE.

*Ζῆν οὐκ ἀνθρώπου βίον ἀλλά τινος πλεύμονος.*
*Plato*, *Phil.* 21, c.

BIBLIOTHECA BODLEIANA

OXFORD:
THOS. SHRIMPTON AND SON, BROAD-STREET.
1878.

~~Gough Adds. Oxon 8° 132.~~
2905
Digitized by Google

Digitized by Google

# ΑΝΑΞΙΜΑΝΔΡΟΣ,

## ἢ περὶ ζῴων γενέσεως.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ.

*ΣΩΚΡΑΤΗΣ, ΑΝΑΞΙΜΑΝΔΡΟΣ, ΤΙΜΑΙΟΣ.*

*ΣΩ. Χθὲς ἐγὼ παρ' Ἀναξιμάνδρῳ σχολάζων, ὦ Τίμαιε, εἶδον πολλὰ καὶ παντοῖα ζῷα· καὶ σφόδρα ἐθαύμασα· φυλάττει γὰρ παρ' αὐτῷ παντοδαπὰ καὶ ἄτοπα, ἵνα σκοπῶν εὑρίσκῃ τίς ποθ' ἡ τῆς ζωῆς ἀρχή· καὶ μάλιστα τὰ ἐν ὕδατι τρεφόμενα, ἐπεὶ πρωτογενῆ τὰ τοιαῦτα ἂν φαίνοιτο· ἀλλ' αὐτὸς τήμερον εἰς λόγους παραγενήσεσθαι ὑπέσχετο, καὶ δὴ οὐ παρὼν θαῦμά μοι παρέχει.*

*ΤΙ. Ἀλλ' οὗτος ἐν καιρῷ ἥκει.*

*ΣΩ. Ὦ φίλε Ἀναξίμανδρε, λιποταξίαν σοι ἤδη ἐνεκαλοῦμεν ὡς τὸν λόγον ἀποπεφευγότι· ἀλλὰ τῆς σῆς ξυμμαχίας πάνυ δεόμεθα ἀποροῦντες τίς ποθ' ἡ τῆς ζωῆς ἀρχὴ καὶ πῶς ἔμψυχα γίγνεται τὰ ζῷα· σὺ γὰρ τοῦτό που ἐσπουδακὼς ἔχεις ἡμᾶς διδάσκειν;*

*ΑΝ. Κατά γε δύναμιν, ὦ Σώκρατες· ἀλλ' ὀκνῶ τοι παρόντος Τιμαίου τοῦ λόγον διδόντος περὶ οὐρανοῦ καὶ τοῦ ξυνιστάντος αὐτόν· πάνυ γὰρ σμικρὸν φαίνεται τὸ ζήτημά μου ὥσπερ μέρος τι πάσης τῆς φύσεως ἐρευνῶντος.*

Digitized by Google

*ΤΙ.* Ἀλλὰ τό γε κατ' ἐμὲ ἥκιστα φοβεῖσθαί σε δεῖ· ἐπεὶ καθ' ἕκαστον τὰ ζῷα οὔπω ἐσκεψάμην, ἀλλ' ὥσπερ συντέμνων πάντα τὸν κόσμον ἐθεώρησα, ἔσθ' ὅτε ἴσως περὶ αὐτοῦ ἡμαρτηκώς· ὥστε εἰκότως ἂν λέγων θαρροῖς.

*ΑΝ.* Πειράσομαι γοῦν ὡς ἂν ἄριστα δύνωμαι περὶ αὐτῶν ἐξηγεῖσθαι· ἐὰν δὲ ὑμῖν δοκῶ ὑποδεέστερόν τι αὐτῶν εἰπεῖν ἐρωτῶντας καὶ διαλεγομένους τὸ πᾶν ἐναντιοῦσθαι ἀξιῶ καὶ ξυγγνώμην μοι ἔχειν εἴ τι περισσῶς ἢ καὶ ἀτόπως περὶ αὐτῶν δοξάσω· ἀρχομένοις δὲ τούτου τοῦ λόγου πρῶτον διαιρεῖσθαι προσήκει τί τὸ ἄψυχον καὶ τί τὸ ψυχὴν ἔχον· τὸ γὰρ ἔμψυχον ὁριζόμενοι ὃ ἂν αὐτὸ ἑαυτὸ κινήσῃ οὐκ ἂν ὀρθῶς διαγιγνώσκοιμεν, ἐπεὶ ἔσθ' ἃ ἐνάλια οὔποτε δι' ἑαυτῶν εἰς ἄλλην κινεῖται ἀλλ' ὅμως ψυχῆς μετέχειν δοκεῖ· τῶν γὰρ βραχιόνων κινουμένων καὶ τὴν βορὰν θηρευόντων τρέφεται· ὡσαύτως δὲ μέρος τι καὶ τὰ ἔγγεια· τὰ γὰρ πέταλα τοῖς ἄνθεσιν ἑσπέρας δι' ἑαυτῶν κατακλείεται, καὶ φυτά ἐστιν ἃ κρέασι τρέφεσθαι λέγεται· ὀλίγοι δὲ τινες καὶ τοὺς λίθους ἐμψύχους προσαγορεύουσιν, ὥσπερ Θαλῆς[a] τῇ λίθῳ τῇ Μαγνητίδι παραδείγματι χρώμενος, ἥπερ τὸν σίδηρον κινεῖ· ἑνὶ δὲ λόγῳ πάντα τὰ ἄψυχα λεγόμενα ψυχὴν ἔχειν ἐμαντεύσατο, οὐκ ὀρθῶς ὡς ἔμοιγε δοκεῖ· ἀλλ' οὐ πάνυ ῥάδιον τὴν τῆς ζωῆς ἀρχὴν καταλαβεῖν· ὥσπερ γὰρ παῖδες, τὸ λεγόμενον[b], ποτανον ὄρνιν διώκοντες ἐν χερσὶν ἔχειν δοκοῦμεν, εἶτ' αὖ πέφευγεν· ὥστε ἀνελπίστως ἔχοντές τινες ἐκ τῶν ἀψύχων γίγνεσθαι ἔμψυχα διϊσχυρίζονται, τὰ ἐν ὕδατι βακτήρια καλούμενα προ-

[a] Ritter and Preller. Fourth edition, § 16.
[b] Æsch. Ag., 383.

Digitized by Google

φέροντες ὡς ἐκ κονίας ἀτόπῳ τινὶ γενέσει πεφυκότων· ἀλλ' οὔποτ' ἂν πίστιν νοῦν γε ἔχοντι ἀνδρὶ παρέχοιεν λέγοντες ὅτι ψυχὴ τῷ μὴ ψυχὴν ἔχοντι ἀπὸ τοῦ αὐτομάτου ἐγγίγνεται· ἀλλ' ὡς ἐγὼ μαντεύομαι τοῖς πρώτοις ζῴοις ὁ θεὸς ψυχὴν ἐνθεὶς τὰ ἔπειτα ἐξ αὐτῶν γεννᾶσθαι ἠβουλήθη, οὐδὲ νῦν ἄλλο τι ζῷον παρὰ τοὺς παλαιοὺς νέον καθίστησιν.

ΣΩ. Ἀληθέστατα λέγεις ὦ Ἀναξίμανδρε· οὐ γὰρ εἰκὸς αὐτόματα τὰ ζῷα ψυχὴν λαμβάνειν· ἀλλὰ πόσα λέγεις τὰ πρῶτα ζῷα, ἢ πῶς δοκεῖς τὰ νῦν ἐν τῇ γῇ οἰκοῦντα εἰς ἐκεῖνα ἀναφέρειν;

ΑΝ. Μακροῦ λόγου δέοντα ἐρωτᾷς, ὦ Σώκρατες· οὐδὲ σαφὲς οὐδὲν οὔτε βέβαιον περὶ αὐτῶν ἔχω παρατιθέναι· πάντα γὰρ τὰ τῶν ζῴων καλούμενα γένη, καὶ προσέτι τὰ τούτων εἴδη ὥσπερ ὁρμαθῷ μακρῷ δεδέσθαι ἂν δόξειεν, ὥστε ἀλλήλοις συμπεπλεγμένα καὶ ἐξηρτυμένα καὶ ἕτερον τῆς τοῦ ἑτέρου φύσεως μέτεχον ἀμήχανον τῷ διαιρεῖσθαι θέλοντι ἔργον παρέχειν· εἰσὶ δὲ αὐτῶν τῶν εἰδῶν διαφοραὶ καὶ ἀνωμαλότητες μυρίαι ἃς σκοπῶν τις οὐδ' ἂν ἕν τι εἶδος καθ' αὑτὸ διωρισμένον ὀρθῶς ἂν προσαγορεύοι· ἀλλ' ἕκαστον τῶν ζῴων πολλαχῇ τῶν ὁμοειδῶν διαφέρει, ὅπερ δηλοῦσιν οἱ ἵππους ἢ κύνας ἢ ἄλλο τι τῶν ζῴων τρέφοντες· γεννῶσι γὰρ ἐκ τῶν ἀρίστων ἵνα ὅ τι ἀκρότατα ᾖ τὰ ἔκγονα, ἐκ τῶν ῥώμῃ καὶ τάχει διαφερόντων τοὺς ἀγωνιστικοὺς ἵππους γεννῶντες, καὶ εἰ κυνῶν θηρευτικῶν ἐπιθυμεῖ τις τοὺς εὔρινας ἐξαιρούμενος ἢ ἀλεκτρυόνων τοὺς ποικιλωτάτους καὶ μαχιμωτάτους· οὕτως δὴ τοὺς ἀρίστους ἢ εἰς τὴν ἰδίαν χρείαν ὠφελιμωτάτους πολλάκις ἐκλέξαντες χρόνῳ εἶδός τι πάνυ ἕτερον τοῦ παλαιοῦ ἀποτελοῦσιν· ὅπερ

Digitized by Google

*περὶ τῶν κυνῶν ἂν δόξειε ξυμβεβηκέναι· ἑνὸς γὰρ κοινοῦ πάντων προγόνου γεγενημένου πολλὰ εἴδη ἐν τῷ νῦν παρόντι ὁρῶμεν, τοὺς μὲν τὰς τρίχας λείας ἔχοντας, ἄλλους δὲ λασίους, καὶ παντοίων σχημάτων καὶ χρωμάτων σώματα ἔχοντας, καθάπερ ἕκαστός τις ἀνὴρ, εἴτε τύχῃ εἴτε ἐκ προνοίας ἐκλέξας, τοῖς ἐκγόνοις αὐτῶν διαφορότητά τινα ἐνέφυσεν· δοκεῖ δ' ἐκ τριῶν μάλιστα εἰς ἄλλα εἴδη τὰ ζῷα μεταβάλλειν, ἐκ τοῦ ἐθίζεσθαι καὶ τῶν ὑπαρχόντων πραγμάτων, καὶ τῶν τόκων ὁμοιώσει· τὸ γὰρ ἐθίζειν πολλὰς μεταβολὰς ἔχει, ἐκ τοῦ πολλάκις ταὐτὰ ποιεῖν μέρων τινῶν μέγεθος τῇ χρείᾳ προσῆκον προσλαμβανόντων, ἄλλα δ' ἔσθ' ἃ ἀχρηστίᾳ μειοῦται· καὶ τὰ παρόντα πράγματα οὐχ ἥκιστα τὰ εἴδη μεταστρέφει, αὐτῆς τῆς φύσεως τοὺς ἀρίστους ἐκλεγούσης· αἱ μὲν γὰρ ὧραι οὐκ ἐπιτήδειαι γενομέναι πολλοὺς τοὺς ἀσθενεστάτους ἀπώλεσαν, τῶν δὲ λειφθέντων αὖ οἱ ἐῤῥωμονέστατοι μόνον περιεγένοντο, ὥστε χρόνῳ τοὺς οἰκειοτάτους τῇ ὥρᾳ ἑκασταχοῦ περιλειφθῆναι· ὅπερ ἐν τοῖς Αἰθίοψιν ξυνέβη· εἰκὸς γὰρ πάλαι λευκὸν τὸν χρῶτα ἔχοντας ἀνθρώπους ἐν τῇ γῇ οἰκεῖν, νόσων δὲ καὶ πυρετῶν ἐπιγιγνομένων τοὺς πολλοὺς διαφθαρῆναι, τοὺς δ' εὐεκτικοὺς θάλλοντας καὶ αὐξανομένους τὸν μέλανα χρῶτα καυμάτων προβολὴν[c] κεκτῆσθαι καὶ ἕτερον εἶδος ἀνθρώπων ἀποδεικνύναι· τὴν δὲ γονέων ὁμοίωσιν λέγω ὅταν ἰδίον τι εἴτε σώματος εἴτε νοῦ οἱ τόκοι ἔχοντες τοῖς ἐκγόνοις παραδιδῶσιν, λαβόντες δὲ κἀκεῖνοι αὐτὸ τοῦτο τοῖς σφετέροις· τοιούτῳ τοίνυν τρόπῳ δῆλά ἐστι τὰ εἴδη εἰς ἄλληλα μεταφερόμενα, ἀνὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ γένη.*

[c] Tim. 74 B.

Digitized by Google

ΣΩ. Οὐκέτι εὔλογον λέγεις, ὦ Ἀναξίμανδρε, οὐδὲ ῥᾳδίως ἄν τίς σοι τοῦτο πίθοιτο· περὶ μὲν γὰρ τῶν εἰδῶν ὡς εὐμετάβολά ἐστιν ἴσως ἄν τις ἰσχυριζόμενος οὐκ ἂν ἁμαρτάνοι· περὶ δὲ τῶν γενῶν πολλὴν μοι παρέχεις ἀπιστίαν· ἓν γάρ μοι τὸ τῶν ἀνθρώπων γένος φαίνεται, ἕτερον δὲ τὸ τῶν ἵππων, καὶ ὡσαύτως τῶν ἄλλων ζῴων, ἃ ἐξ ἀρχῆς ὁ δημιουργὸς ἓν καθ' ἕκαστον διελὼν ἀσφαλῆ καὶ ἀμετάστροφα πάντα τὸν βίον διατελεῖν ἠβουλήθη.

ΑΝ. Ἐμβέβληκάς με εἰς λόγον δυσαπόδεικτον, ὦ Σώκρατες· ἀλλ' ἅ μοι δοκεῖ περὶ αὐτοῦ εἰ καί σοι βουλομένῳ ἐστὶ δι' ὀλίγων δηλώσω.

ΣΩ. Ἀλλὰ βούλομαι.

ΑΝ. Εἰ οὖν μεταβολὰς προσδέχεται τὰ εἴδη εἰκὸς καὶ τὰ γένη· πῶς γὰρ διαίρετα; ἢ πόσον διαφέροντα ζῷα ἄττα εἶδός ἐστι, καὶ πόσον αὖ γένος; ἀλλ' οὐκ ἄν ποθ' ὁρίσειας· τὰ μὲν γὰρ τῶν γενῶν μᾶλλον ἀλλήλοις ἔοικε τὰ δ' ἧττον· οἷον τὸ τοιόνδε λέγω, ὅτι τὸ τῶν αἰλούρων τοῖς λέουσιν ὅμοιόν ἐστι καὶ οἱ πίθηκοι ἀνάλογον ἔχουσι πρὸς τοὺς ἀνθρώπους· ἥκιστα δ' ἄνθρωπος αἰλούρῳ ἔοικε καὶ πίθηκος λέοντι· οὔκουν πάντα τὰ γένη ὁμοίως διΐσταται καὶ οὐδὲν ἂν κωλύοι τὰ μάλιστα ὁμοιωθέντα ταὐτὰ γίγνεσθαι· ὥστε ὅπερ ἐπὶ τῶν εἰδῶν ξυνέβη τοῦτο καὶ ἐπὶ τῶν γενῶν· πολλαὶ μέν εἰσι καὶ παντοῖαι διαφοραὶ, ἔστι δὲ στίχος τις πάντων τῶν ζῴων κατ' ὀλίγον τιμῇ αὐξανομένων, οὗπερ ἄρχει ὁ ἄνθρωπος·

ΣΩ. Ἀλλ' οὐδὲ νῦν πιστόν μοι παρέχεις λόγον· ὅμως δὲ ἵνα μὴ ὄχλον σοι παρέχων χαλεπὸς φανῶ τἆλλα ἑξῆς περὶ αὐτῶν δίδασκε·

Digitized by Google

*ΑΝ.* Ἀλλ' ἓν ἔτι λοιπὸν πάντων ὀξύτατον βέλος ἔχω, ὦ Σώκρατες· ἐν γὰρ τοῖς παλαιοτάτοις χρόνοις τῆς γῆς ἔτι ἐν χάει κινουμένης καὶ κατακλυσμῶν πολλῶν πανταχοῦ γιγνομένων οὐ δυνατὸν ἂν ἦν πάντα τὰ νῦν τρεφόμενα ζῷα τρέφεσθαι· οὐδὲν γὰρ γίγνεται ᾧ ἂν γενομένῳ μὴ τροφὴ ᾖ ἐπιτηδεία·[d] κατὰ δὲ τοῦτον τὸν λόγον τὰ χρονίας τιθηνήσεως δεόμενα ζῷα οὐδαμῶς ἂν τότε διεσώθη, καὶ ἥκιστα ἄνθρωποι οἱ τῆς μακροτάτης πάντων δεόμενοι· ἐξ ὧν ξυμβαίνει ὅπερ ἔλεγον, ἕν τι τὸ πρῶτον ἢ ὀλίγα ἄττα γένη ὑπὸ τοῦ δημιουργοῦ καθιστάμενα ἔπειτα δὲ αὐξανόμενα καὶ μεταστρεφόμενα ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις τὰ νῦν μυρία καὶ παντοδαπὰ ἀποτετελεκέναι· οὐ γάρ που εἰκὸς τὸν θεὸν ἕκαστον ἀεὶ γένος ὅταν καιρὸς ἐπίῃ ποιεῖν, οὐδὲ νῦν καθ' ἡμέραν ζῷα νέα δημιουργεῖν· ἀλλὰ πολὺ μᾶλλον ζῷα ἄττα τότε ἅπαξ ποιήσας νῦν ἀλλοειδῆ ἐξ αὐτῶν φύεσθαι ἐᾷ· ὅταν δὲ πολλαὶ γίγνωνται καὶ φανεραὶ αἱ διαφοραὶ γένος προσαγορεύομεν· τῇ δ' ἀληθείᾳ ἐξ αὐτῶν ἑκάστων γίγνεται τὰ εἴδη ἐκ δὲ τῶν εἰδῶν τὰ γένη. Πάντων γὰρ κατ' ἀρχὰς ἐν χάει μιγνυμένων καὶ τὴν φύσιν τοῦ ἀπείρου ἐχόντων οὐκ ἦν ἐν τῇ γῇ οὔτε ζῷον οὔτε φυτὸν οὐδέν· ἔπειτα διῃρέθησαν ὕδωρ καὶ ἀὴρ καὶ γῆ καὶ πῦρ. τὰ δ' ὕδατα πλήθει πάντα τἆλλα ὑπερέβη, οὐδὲ ἐπάνω ἐφαίνετο οὐδεμία ἤπειρος· καὶ τοιούτου τοῦ κόσμου γενομένου φυτόν τι ἐνάλιον ἐποίησεν ὁ δημιουργός, ἀφ' οὗ προϊόντος τοῦ χρόνου ἐγεννήθη ἄλλα ἕτερα εἴδη φυτῶν· τὸ δ' ἀκρότατον καὶ τελεώτατον τῶν πεφυκότων ἔμψυχον παρεσχηκὼς ὁ θεὸς τὸ πρῶτον ἀκανθώδει ἐκύκλωσε

[d] Menex., 237 E.

Digitized by Google

*φλοίῳ, τὴν νεογενῆ ψυχὴν ἀπὸ κυμάτων καὶ ἀνέμων φυλάττων μεχρὶ οὗ αὐταρκὴς γενομένη τὴν τοῦ αὐτὴν ἑαυτὴν κινεῖν δύναμιν ἐκτήσατο καὶ τὸ τέλος εἰς ἰχθὺν ἀπέβη· τῆς δὲ ξηρᾶς ἐν τούτῳ τὸ πλεῖστον ἐξανισταμένου τῷ τελεουμένῳ ζῴῳ οἰκία ἐπιτηδεία κατεσκευάζετο, τῶν τε εὐχειμέρων φυτῶν ἐκ τῆς θαλάττης μεταφερομένων καὶ τῶν νεφελῶν εἰς ὄμβρον ὡραῖον ἐν τῷ οὐρανῷ ξυλλεγομένων· τότε δὴ ὁ ἰχθὺς ἀντὶ τῶν ἀναπνοῶν πλεύμονας κεκτημένος ἐξεβλήθη καὶ τῆς γῆς ἐλάβετο, ὥσπερ καὶ νῦν οἱ βάτραχοι. εἰκὸς δὲ τὸ πρῶτον ἐπίγειον μῦν ἢ φλαῦρον ἄλλο τι τῶν ζῴων γεγονέναι· πάνσμικρος γὰρ ἦν ἡ τροφὴ οὐδὲ τοῖς μεγάλοις ἂν ἤρκεσεν· ὕστερον δὲ αὐξανομένων τῶν κριθῶν καὶ παντοίας φορβῆς μείζω γίγνεσθαι ἀπ' ἐκείνων ζῷα οἷον λαγὼς καὶ γαλᾶς καὶ ἔτι τούτων τελεωτέρους ἐλάφους καὶ βοῦς καὶ ἵππους, καθάπερ ἑκάστῳ τοῦ βιῶναι καιρὸς ἐπεγένετο· πάντα δ' ἐφεξῆς οὐ σχολή μοι διεξιέναι· μακρὸς γὰρ ὁ λόγος καὶ τὸ ἐν τάξει διακοσμεῖν χαλεπόν· πάντων δ' ὕστατος ἐγένετο ἄνθρωπος ἀπὸ πιθήκου μεταβληθείς.*

ΣΩ. *Εὐφήμει, ὦ Ἀναξίμανδρε· ἆρ' οὐκ ὀκνεῖς τὸ θεῖον τῶν ἀνθρώπων γένος πιθήκοις ἀφομοιῶν; ἢ οὐκ ἀκηκόας τὸ τοῦ Ἡρακλείτου ὡς ἄρα πιθήκων ὁ κάλλιστος αἰσχρὸς ἀνθρώπων γένει συμβάλλειν*[e]*;*

ΑΝ. *Ἀλλ' οὐδαμῶς ἔγωγε συμβάλλω, ὦ Σώκρατες, ἐπεὶ τἀνθρώπινον γένος ὡς πλεῖστον τὸ νῦν τοῦ τῶν πιθήκων διαφέρει· ἀλλ' οὐδὲν κωλύει εἰς τούτους ἐκείνους ἀναφέρεσθαι· καὶ σκόπει τὸ τῶν πιθήκων*

[e] Hip. Maj. 289 A.

Digitized by Google

σχῆμα ὡς ὅμοιόν ἐστιν τῷ ἀνθρωπίνῳ· πάντων γὰρ τῶν τετραπόδων μόνος ὁ πίθηκος ὄρθιος βαδίζει καὶ τὰ τέκνα κατὰ τὸν ἀνθρώπων τρόπον τρέφει· τὸ δὲ πρόσωπον ἀνθρώπινόν που καὶ τῷ τῶν ἀγριωτάτων βαρβάρων οὐκ ἀνόμοιον, πλήν γε τῶν ὤτων, ἃ εἰκὸς ἐπὶ κινδύνῳ ποτὲ ὀρθὰ ἱστάμενα ἀκινδύνου γιγνομένου τοῦ βίου καθιέσθαι· τὸ δ' ἦθος ἀμήχανον ὅσον ἀφομοιοῦνται· μιμητικὸς γὰρ φύσει ὁ ἄνθρωπος, ἔν τε ταῖς τέχναις μιμήσει πάντα ἀπεργαζόμενος, καί μάλιστα οἱ παῖδες τοὺς τῶν γεραιτέρων τρόπους μιμούμενοι καὶ σκώπτοντες, τὰ τῶν πιθήκων ἤθη ἐν ἑαυτοῖς δηλοῦντες οὐδεμιᾶς πω παραγιγνομένης παιδείας· ὅθεν καί φησιν ὁ Πίνδαρος

καλός τοι πίθων παρὰ παισίν, αἰεὶ καλός· [f]

ὡς ὁμοίαν φύσιν ἐχόντοιν· ἔτι δὲ καὶ τὸ κλέπτειν καὶ δόλῳ κακουργεῖν ἀνθρώπου ἐστὶν οὐχ ὅλως πεπαιδευμένου· καὶ οἶσθά που ὅτι ἀπατητικός τις ὁ πίθηκος καὶ πάνυ γέλοιαι αἱ γοητεῖαι αὐτοῦ.

ΣΩ. Ἀλλ', ὦ ἄριστε, αὐτὸ τοῦτο πολὺ ἔχει τὸ διάφερον τὸ τῆς παιδεύσεως καὶ λόγου τοὺς ἀνθρώπους μετέχειν· καὶ οὐκ ἂν πείσειάς με τὸν νοῦν ἔχοντα καὶ πάντων θειότατον τῶν ζῴων ἐξ ἀνοήτων καὶ θηριώδων πιθήκων γεννηθῆναι· οὐ γὰρ συγγένειαν ἀλλὰ ἀρχὴν τῶν ζῴων ἔδωκεν ὁ θεὸς τοῖς ἀνθρώποις· πολλῶν δὲ ξυνδέσμων ἐν τῷ καλῷ τούτῳ ὁρμαθῷ ἐκπεπτωκότων τοῦτον οὐχ ἥκιστα ποθῶ ὃς ἂν πίθηκον πόῤῥω διϊστάμενον ἀνθρώπῳ ξυνδῇ· μέγα γὰρ τὸ χάσμα, ὡς ἔμοιγε δοκεῖ, οὐδὲ διαβατόν.

[f] Pind. Pyth., 2, 132.

Digitized by Google

*ΑΝ.* Ἀλλὰ γέφυραν ἔχω, ὦ Σώκρατες, αὐτὸς εὐδιάβατον· σὺ δέ γε, οἶμαι, καὶ οἱ ἄλλοι ὀκνεῖτε διαπερᾶσαι, ἴσως οὐκ εὐλόγως· τὸ δ' ἐμὸν οὐκ αἰσχρὸν νομίζω εἰς πιθήκους ἀναφέρειν ἄνθρωπος ὢν καὶ νοῦν θεῖον καὶ θεοσεβῆ κεκτημένος.